τοῦ Ἰσραήλ; Τὸ γὰρ ταπεινὸν καὶ πρᾶον, ἵνα μὴ λέγω
μᾶλλον, εἰ τὴν ὁδοιπορίαν ποσὶ βαδίζων διήνυεν,
ἀλλ' οὖν οὐκ ἔλαττον παρεῖχεν ἐννοεῖν. Οὕτω τὰ τῆς
παλαιᾶς τοῖς τῆς χάριτος συνεβίβαζε. Καὶ οὕτω διὰ
τῆς αὐτῆς ἀγαθότητος καινὰ καὶ ταῦτα προελθεῖν,
εἰ καὶ τὸ μεῖζον ἡ χάρις εἶχε, μετὰ τῶν ἄλλων σωτη-
ρίων δογμάτων καὶ τοῦτο, καὶ λόγοις καὶ ἔργοις ἐκπαι-
δεύειν οὐκ ἀφίσατο. Τί μ[ὴ] τῷ ἱερῷ προσελθὼν
ἆρα ἀλλότριον ἀπέφηνεν αὐτὸ; ὃν τρόπον ἡ ἀποστασί-
α βούληται, ἢ βεβηλοῦσθαι παρῆκεν, ὡς τῆς μελλούσης ὑπ[ὸ]
καθαιρεῖσθαι τυραννίδος ἀνάκτορον καὶ κατοικητήριον
ὄν; Οὐ πολλοῦ γε καὶ δεῖ, καὶ τοί γε ἔχρῆν (Ἀλλ' ἵλεως εἴη
θεός!) ἀφ' οὗ μάλιστα τὴν θεραπείαν ἤδη προσφερομένην
τῷ ἐχθρῷ, αὐτόθεν αὐτοῦ τῆς καταλύσεως ποιεῖσθαι τὴν
ἀρχήν. Ὁ δὲ τοὐναντίον ἅπαν ἐκτελεῖ δι' ἔργων αὐτῶν
ἐλέγχων τοὺς ἀσεβεῖς. Οὐ γὰρ μόνον οὐδὲν οὐκ ἀφῆκεν
ὑβριστικὸν, ἀλλὰ καὶ τοὺς μὴ λίαν τετιμηκότας ἐκβάλ-
λει τε καὶ ἀπελαύνει σὺν ἀπειλῇ. Καὶ τῆς ὀργῆς, ὅσης
ἦσαν ἄξιοι βεβηλοῦντες τὸν οἶκον τοῦ πατρὸς αὐτῶν,
παριστῶν φραγέλλιόν τε σχοινίων διαπλέκει, καὶ τοῦτο
τούτοις ἐπανατείνεται. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ
τὰς τραπέζας τῶν κολλυβιστῶν, (αὗται δ' ἂν εἶεν ἀφ' ὧν τὸ
τῆς ἀλλαγῆς ἀργύριον καὶ τὰ κέρματα ἔφερον) ἐφ' οἷς
καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστερὰς, ἢ τοὺς βοῦς,
εἰ βούλει δὲ καὶ τὰ πρόβατα κατέστρεφε. Καὶ οὐκ ἔπραξε
μὲν ταῦτα, ἐσίγησε δέ. Ἀλλ' οὐκ ἐσίγησε μὲν, διὰ παραβο-
λῆς δὲ ἐφθέγξατο. ἢ οὐ τοῦτο μὲν, οὐ σὺν παῤῥησίᾳ.

Καὶ τίς

f. τί ἐ μετὰ ταῦτα δὲ

l. ~~ἤδη~~ ἤδει

desunt verba forte φόβον vel aliud quid aptius (forte μέλις αὐτοῦ)

f. ἄις

f. haec intrusa